λειοτάτου δὲ ὄντος τοῦ δεκαδικοῦ ἀριθμοῦ, ἀρχὰς ἐποίουν τῶν ὄντων δέκα συζυγίας, ἤτοι ἀντιθέσεις εἰδῶν τε καὶ ἕξεων, καὶ ἀγαθῶν, καὶ στερήσεων, καὶ κακῶν, καὶ τῶν ἀόριστον ἐχόντων (1) ἀντιθέτως τοῖς εἴδεσιν, οἷον πεπερασμένον, ἄπειρον. ἄνισον, ἴσον. ἕν, πολλά. δεξιόν, ἀριστερόν. ἄῤῥεν, θῆλυ. ἠρέμησις, κίνησις. εὐθύ, καμπύλον. φῶς, σκότος. ἀγαθόν, κακόν. τετράγωνον, ἑτερόμηκες. ἦσαν δὲ οἱ Πυθαγόρειοι τῆς Ἰταλικῆς αἱρέσεως διάδοχοι τῶν Πυθαγορείων δογμάτων, χρόνῳ μὲν ὑστερίζοντες Θαλοῦ, ὀνόματι δὲ περιφανεῖ, φήμῃ τε σοφίας, καὶ πλήθει μαθητῶν, οὐ τῶν πρὸ αὐτοῦ μόνον, ἀλλὰ καὶ τῶν εἰσέπειτα περιβλέπτων, ἐν Φιλοσοφίᾳ τῶν μὲν πολλῷ μείζονος, τῶν δὲ οὐδὲν ἐλάττονος. ἐβίω δὲ οὗτος περὶ τὴν τρίτην Ὀλυμπιάδα, κατά τον τῶν συγγραφέων μὴ πάνυ συμφωνούντων, ἀλλὰ πλείοσιν ἔτεσι διαφερόντων, ὅτι χάριν οἱ Πυθαγόρειοι τοὺς ἀριθμοὺς ἔλεγον ἀρχὰς τῶν ὄντων. Ἀριστοτέλης ἀποφαίνεται, ὅτι δηλονότι οἱ ἀριθμοὶ πρότεροι τῶν πραγμάτων εἰσίν, ἀφῃρημένοι τε ὄντες, καὶ δίχα τόπων ἐννοούμενοι, τὰ δὲ πράγματα οὐκ ἄνευ ἀριθμῶν ληπτὰ δύνανται γίνεσθαι. τάχα δὲ ἀναγκαῖον ἄνωθεν ἀναλαβοῦσι διὰ βραχέων ἀναπτύξαι τὰ τῶν Πυθαγορείων δόγματα, καὶ δι' ἣν αἰτίαν ἀριθμοῖς ἐξομοιοῦνται τὰ πράγματα. ἀλλὰ τὸν μὲν νοῦν ὅτι ἐκάλουν μονάδα, δυάδα δὲ τὴν ἐπιστήμην, τριάδα δὲ

τὴν

(1) Τῆς γὰρ δεκάδος δύναμις ἡ τετράς. πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος, τῆς ἐν τῇ δεκάδι, ἰσομένη τίς τελειότης θεωρεῖται. κατὰ γὰρ σύνθεσιν τῶν ἀπὸ μονάδος ἕως τετράδος δεκάς, τὸ πᾶν ἄθροισμα γίνεται. Ἓν γὰρ καὶ δύο, καὶ τρία, καὶ τέσσαρα, τὴν δεκάδα πληροῖ, καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος, καὶ ἑβδομάδος ἡ τετράς, καὶ ἴσῳ γὰρ ἀριθμῷ καὶ ὑπερέχει καὶ ὑπερέχεται. τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. μονάδος τὴν φύσιν γὰρ καὶ ἑβδομάδος ἰδιώματα κάλλιστα εἰσὶ καὶ ἄριστα. ἡ μὲν γὰρ μονάς, ὡς ἀρχὴ ἀριθμοῦ παντὸς, τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ περιέχει, ἡ δὲ ἑβδομὰς ὡς ἀμήτωρ καὶ παρθένος τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει. οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινὸς τῶν ἐντὸς δεκάδος, ὡς καὶ ὁ δ' ἐκ τοῦ δὶς δύω, καὶ ὁ ϛ'. ἐκ τοῦ δὶς τρεῖς, καὶ ὁ η' ἐκ τοῦ δὶς τέσσαρες. καὶ ὁ θ'. ἐκ τοῦ τρὶς τρεῖς. καὶ ὁ ι' ἐκ τοῦ δὶς πέντε. οὔτε γεννᾷ τινὰ τῶν ἐντὸς δεκάδος, ὡς ὁ β' τὸν δ'. καὶ ὁ γ'. τὸν θ'. καὶ ὁ ε'. τὸν ι'. τῆς δὲ ἀγεννήτου μονάδος, μονάδος, καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη τὰς τῶν γεννώντων καὶ γεννωμένων δυνάμεις ἅμα συνείληφε μόνη τῶν ἐντὸς δεκάδος, καὶ γεννωμένη ἀπό τινος ἀριθμοῦ, καὶ γεννῶσα τινὰ ἀριθμόν. ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ. ἡ δὲ τετρὰς δύω γεννωμένη τὸν η' ἀποτελεῖ, καὶ στερεοῦ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται. τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι. ἀπό τινος γὰρ ἐπί τι, καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια. στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον. τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι. ἡ γὰρ πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται. τριγώνου μὲν βάσεως ὑποτεθείσης τοῦ τρία, κορυφῆς δὲ αὐτῆς ἐπιτεθείσης τοῦ ἑνός, καὶ κριτικαὶ δὲ δυνάμεις ἐν τοῖς οὖσι τέτταρες. νοῦς, ἐπιστήμη, δόξα, καὶ αἴσθησις, καὶ ἁπλῶς τὰ ὄντα πάντα ἡ τετρὰς ἀνεδήσατο. στοιχείων ἀριθμῶν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν συνοικισμῶν, καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ τῆς τετρακτύος ὡς ῥίζης καὶ ἀρχῆς ἤρτηται.

Ε.Υ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

τὴν δόξαν, καὶ τετράδα τὴν αὔξησιν, εἴρηται τῷ Πλουτάρχῳ. ἔτι δὲ τετρακτὺν ἐκάλουν, καὶ ἐννεάδα τὴν δικαιοσύνην. καὶ γὰρ ὁ τέταρτος ἀριθμὸς πρῶτός ἐστι τῶν τετραγώνων ἁπάντων, καὶ ἀρτιάκις ἄρτιος. ὁ δὲ ἐννεαδικὸς ἐκ τῶν τριῶν τρὶς πολυπλασιασθέντων ἀναφύεται, καὶ ἰσότητα σημαίνει. πέντε δὲ τὸν γάμον ὠνόμαζον, ὅτι ἡ μὲν γυνὴ τῷ ἀρτίῳ ἀριθμῷ ὁμοία ἐστι, τὸ δὲ ἄῤῥεν τῷ περιττῷ. ὁ δὲ πενταδικὸς ἀριθμὸς ἐκ τοῦ ἀρτίου, καὶ περιττοῦ συνίσταται. περιέχεται δὲ καὶ ἄλλα πλεῖστα μυστήρια τῷ ἀριθμῷ τούτῳ, ἃ διασαφεῖ Πλούταρχος ἐν τῷ περὶ τοῦ εἰ μορίου. τὰ δὲ ἑπτὰ καίρια ἔλεγον ὡς πολλῶν καιρίων γινομένων ἐν τοῖς ἑπτὰ περί τε ἀνθρώπων καὶ τῶν ἄλλων ζώων. καὶ γὰρ οἵ γε κλιμακτηρικοὶ χρόνοι τοῖς ἑπτὰ μετροῦνται, καὶ ἀνὰ ἑπτάδα κυριωτάτην τινὰ ἐνέργειαν ποιοῦσιν, ἢ μεταβολὴν πάσχουσιν οἱ ἄνθρωποι. μηνὶ γὰρ ἑβδόμῳ τὰ βρέφη τικτόμενα ζωηρά ἐστι, καὶ τῷ ἑβδόμῳ ἔτει ὀδοντοφυοῦσι, καὶ πάλιν μετὰ ἑπτὰ ἐνιαυτοὺς ἡβάζουσι, τῷ δὲ ἑξῆς ἑβδόμῳ ἐνιαυτῷ τὸ σπέρμα εἰς γένεσιν ἐπιτήδειον φέρουσι, καὶ τῆς νεότητος ἄρχονται, καὶ ἀνὰ ἑπτὰ ἐνιαυτοὺς ἢ βαίνουσιν εἰς τὸ πρόσω ἄχρι τῆς καθεστηκυίας ἡλικίας, ἢ λείπονται ἐπὶ τὸ χεῖρον. διὸ καὶ τὰ νοσήματα ἐν ταῖς ἑβδομάσι τῶν ἐνιαυτῶν ἐπικινδυνώτερα νομίζεται. ἔτι δὲ καὶ ὁ Ἥλιος ὁ τῶν ἀπὸ Σελήνης ἁπάντων γενήτωρ ἐν τῇ ἑβδόμῃ καθίδρυται σφαίρᾳ κατὰ τοὺς Πυθαγορείους. θαυμαστὸν δὲ ὁ ἕβδομος ἀριθμὸς, ὅτι ἐντὸς τῶν δέκα οὔτε γεννᾶται, οὔτε γεννᾷ. τὰ γὰρ δὶς δύο τέτταρά εἰσι, καὶ τὰ δὶς τρία ἕξ, καὶ δὶς τέτταρα ὀκτὼ, καὶ δὶς πέντε δέκα, καὶ τὰ τρὶς τρία ἐννέα. ὅθεν οἱ Πυθαγόρειοι Ἀθηνᾶν ἐκάλουν τὸν ἑπταδικὸν ἀριθμὸν, ὡς ἐκ μηδενὸς γεννώμενον, οὔτε γεννῶν ἕτερον. πλείω δὲ τούτων περὶ τῶν ἐν ἀριθμοῖς μυστηρίων εὕρηται παρά τε Γελλίῳ, καὶ τῷ τοῦ Ἡσιόδου Σχολιαστῇ. ἀλλ' ἐπανέλθωμεν εἰς τὸν δεκαδικὸν ἀριθμὸν, ὃν παντελεώτατον ὠνόμαζον, ἄλλοις τε πλείοσι λόγοις, καὶ ὅτι τὰ ἐν τῷ παντὶ σώματα τοσαῦτα εἰσὶν, ὅσα κύκλῳ φέρεται, δηλονότι οἱ ἑπτὰ πλανῆτες, ἡ ἔναστρος σφαῖρα, καὶ ἡ γῆ, ἣν ὁμοίως ἔλεγον περιειλεῖσθαι. τὸν γὰρ Ἥλιον ὡς ἑστίαν τοῦ θερμοῦ ἐν μέσῳ τοῦ παντὸς ἐτίθεσαν. ὥστε περὶ ἐκεῖνον δινεῖσθαι τὰ ἄλλα πάντα, καὶ αὐτὴν δὴ τὴν ἀντίχθονα, ἣν ἀντιθέτως ἔλεγον κινεῖσθαι τῇ γῇ. ἔφασκον δὲ ἐν τοῖς τοιούτοις σώμασι διαστάσεις εἶναι ἁρμονικὰς, ὥστε ἀναλόγως ἀλλήλων ἀπέχεσθαι. τὴν γοῦν ἀπὸ Ἡλίου εἰς γῆν διάστασιν ἐν διπλασίονι λόγῳ ἐποίουν τῆς Σελήνης, τριπλασίονα δὲ λόγον ἔχειν τὸ ἀπὸ τῆς Ἀφροδίτης διάστημα, καὶ περὶ τῶν ἄλλων ὡσαύτως. μᾶλλον δὲ καὶ ἀναλογίᾳ τινὶ μουσικῇ, καὶ ἀριθμῷ ἁρμονίᾳ κινεῖσθαι τὰ σώματα ταῦτα ᾠήθησαν, ὥστε τὰ μὲν τάχιστα περιαγόμενα τὴν ὑπάτην φθέγγεσθαι, τὰ δὲ βραδύτατα τὴν κατωτάτω, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε. ΥΠΑΝΙΣ Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

νήτην, μέσην δὲ τὰ μετρίως φερόμενα. ὥστε ἐκ τῆς συμφωνίας τούτων γίγνεσθαι μὲν ἐν τῷ παντὶ ἦχόν τινα μουσικὸν, καὶ ἐναρμόνιον, ἡδιώ τε καὶ τερπνὸν, καίτοι μὴ τοῖς ἡμετέροις ὦσιν ἀκουστὸν, εἴτε τῆς ἀδιακόπου συνηθείας ἀμβλυνούσης τῷ ὀργάνῳ τὴν αἴσθησιν, εἴτε τῆς πολλῆς περιστάσεως ἐμφραττούσης τῷ θορύβῳ τὴν ἀκοήν. Κομψῶς οὖν οὗτοι τὸν παννόμον Μουσικῆς ἐξ ἀριθμῶν συνετίθουν. περὶ ὧν καὶ Ἀριστοτέλης πλείω εἴρηκεν ἐν τῷ δευτέρῳ περὶ Οὐρανοῦ ἐπὶ τοῦ ν β'. μορίου, καὶ Συρριανὸς ἐν τῷ τελευταίῳ ὑπομνήματι εἰς τὸ ι δ'. τῶν μετὰ τὰ Φυσικά, καίτοι Ἀριστοτέλης ἀρέσκεται πολλαχοῦ τοῖς τῶν Πυθαγορείων λόγοις, ὃς καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ πρώτου περὶ Οὐρανοῦ ἐκ τῆς τελειότητος τοῦ τριαδικοῦ ἀριθμοῦ ἐπῄνει τὸ σῶμα. φανερὸν οὖν, ὅτι ἀρχαὶ πραγμάτων εἰσὶ κατὰ Πυθαγόραν οἱ ἀριθμοί. ἀλλ᾽ ἐν ποίῳ τινὶ γένει ἀρχῆς ἄδηλον. ὁ γὰρ Ἀριστοτέλης ἐν ὕλης λόγῳ ἀρχὰς εἶναι τοὺς ἀριθμοὺς ἀποφαίνεται ἐν τῷ πρώτῳ τῶν μετὰ τὰ Φυσικά. ἐπειδὴ γὰρ οἱ Πυθαγόρειοι τῇ ἐξ, προθέσει ἐχρῶντο, ἐξ ἀριθμῶν συγκεῖσθαι λέγοντες τὰ πάντα, καλῶς δοκοῦσι τὴν ὑλικὴν ἀρχὴν ἡμῖν ἀποφῆναι. ἀλλὰ τῶν Πυθαγορείων τινὲς εἰς τὸ παραδειγματικὸν αἴτιον ἀνάγουσι τοὺς ἀριθμοὺς, καὶ εἰς τὰς ἰδέας, ὡς κατ᾽ ἐκείνους ἁρμονικῶς πάντων γινομένων. ἄλλοι δὲ εἰς τὸ εἶδος ἀναφέρουσιν ἐκ τῶν Ἀριστοτέλους ἐπιχειροῦντες, ὅτι ὀγδόῳ τῶν Μεταφυσικῶν, μορίῳ δεκάτῳ, τὰ εἴδη τοῖς ἀριθμοῖς ὅμοιά φησι καὶ ταῖς μονάσιν. ἡ δὲ μονὰς ἀρχὴ ἀριθμῶν, μάλιστα δὲ τῆς ἀκροτάτης εἰκὼν ἐντελεχείας. ὥσπερ γὰρ ἀνεξάντλητός ἐστιν ἡ μονὰς, καὶ ὁντιναοῦν ἀριθμὸν ποιήσει τις, οὐδὲν ἧττον ἐστὶ πλήρης, οὕτως ἡ τοῦ Θεοῦ Δύναμις ἀνένδοτός ἐστι, καὶ ἀκάμαντος, τὰ πάντα δυναμένη, καὶ μηδαμῶς ἀπειρηκυῖα ποτέ. ἐλέγετο δὲ παρὰ Πυθαγορείοις ἡ μονὰς ἀδιάφορος, ὡς περιττὴ καὶ ἀρτία. τῷ γὰρ περιττῷ προσιθεμένη, ἄρτιον ἀποτελεῖ ἀριθμὸν, καὶ τῷ ἀρτίῳ περιττόν. δι᾽ ἣν αἰτίαν ἐν ἀρχῶν λόγῳ τὸ ἄρτιον, καὶ τὸ περιττὸν ἐτίθεσαν. μονὰς γὰρ ἀρχὴ πάντων, αὕτη δὲ περιττὴ, καὶ ἄρτιος ἐστι πρὸς ἀμφότερα ἐξ ἴσου ῥέπουσα. ἔφασκον δὲ τὸ μὲν ἄρτιον ἄπειρον, πεπερασμένον δὲ τὸ περιττόν. ὅτι οἱ περιττοὶ ἀριθμοὶ τοῖς τετραγώνοις (1) προσιθέμενοι οὐκ ἀπο-







(1) Τετράγωνος δὲ ἀριθμὸς πᾶς ὁ πρὸς ἑαυτὸν πολυπλασιαζόμενος καὶ γεννῶν ἕτερον, οἷον πρῶτος τετράγωνός ἐστιν ὁ δ'. τὰ γὰρ δύω πρὸς ἑαυτὰ πολυπλασιαζόμενα ἀποτελοῦσι τὰ δ'. ὁμοίως καὶ ὁ θ' τετράγωνός ἐστιν. ἐκ γὰρ τῶν τριῶν τρὶς πολυπλασιασθέντων συνίσταται. ὁμοίως καὶ ις' ἐκ τῶν δ', καὶ ὁ κε' ἐκ τῶν ε', καὶ οἱ λοιποὶ ὁμοίως. τοιγαροῦν τοῖς τετραγώνοις τούτοις προσιθεὶς ὁ περιττὸς ἀριθμὸς οὐκ ἀποξενοῖ αὐτῶν τὸ εἶδος. ὁ ἄρτιος δὲ προσιθεὶς ἀλλάττει αὐτῶν τὸ εἶδος. φέρε εἰπεῖν τῷ α' τετραγώνῳ, ἤτοι τῷ δ' προσιτεθεὶς ὁ ε' περιτ-

ἀποξενοῦσι τὸ εἶδος, καθάπερ οἱ ἄρτιοι. ὄψεσθε δὲ καὶ Λαέρτιον πλείω φράζοντα περὶ τῶν Πυθαγορείων ἀριθμῶν, ἡμῖν δὲ ἀπόχρη καὶ ταῦτα. τῶν δὲ ἀπείρας τιθεμένων τὰς ἀρχὰς Ἀναξαγόρας ἦν ὁ Κλαζομένιος, ὅστις ἤκμασεν ἐπὶ τῆς βασιλείας Ξέρξου, καὶ Ἀρταξέρξου τοῦ υἱοῦ αὐτοῦ περὶ τὴν οε΄. Ὀλυμπιάδα, Ἀκροατὴς γενόμενος Ἀναξιμένους, Ἀρχελάου δὲ καὶ Περικλέους καὶ Εὐριπίδου τοῦ ποιητοῦ καθηγητής. τοσοῦτον δὲ ἔρωτι σοφίας ἐξήφθη, ὥστε παραλιπὼν τὴν ἐνεγκοῦσαν, φέρων ἑαυτὸν ἀφωσίωσε τῇ Φιλοσοφίᾳ. οὗτος ἀρχὴν ἐποίει ὁμοιομερειῶν ἀπειρίαν, ἣν ὁ Ἀριστοτέλης πανσπερμίαν φησὶ, πρώτῳ περὶ γενέσεως, καὶ φθορᾶς, μορίῳ πρώτῳ. ὅθεν κατ' Ἀναξαγόραν πάντα ἐκ τῶν ὁμοίων ἐγίγνετο, οἷον σὰρξ ἐκ σαρκὸς, καὶ ἐξ ὀστέων ὀστοῦν. ἔλεγε γὰρ προϋπάρχειν ὁμοιομερείας σαρκὸς, ὀστοῦ, καὶ αἵματος, καὶ νεύρων, καὶ τῶν λοιπῶν ἁπάντων, ὧν συγκρινομένων μὲν ἐγίγνετο ταῦτα, ἐφθείρετο δὲ διακρινομένων. ἀπείρους δὲ τὰς ὁμοιομερείας ἔφασκεν, ἵνα μήποτε μὴ δυνατὸν ᾖ γενέσθαι σάρκα, ἢ ὀστοῦν. οὕτως δὲ καὶ ἐν παντὶ τὰ πάντα ἐτίθει, οὐχ ὥστε καθαρὸν εἶναι χρυσοῦν, ἢ σίδηρον, ἀλλ' ἐν αὐτοῖς τούτοις ἀπειρίαν εἶναι τῶν λοιπῶν ὁμοιομερειῶν, ἀλλὰ χρυσοῦν φαίνεσθαι τῆς συγκρίσεως τῶν ὁμοιομερειῶν τοῦ χρυσοῦ ἐπικρατούσης, ἐμφανοῦς τε οὔσης, καὶ ἐκ μειζόνων. παρὰ δὲ τὰς ἀπείρους ὁμοιομερείας, ἃς ἐν ὕλης ἐτίθεσαν λόγῳ, ποιητικὸν αἴτιον προσήψατο τὸν νοῦν, ὃν ἔλεγε διακοσμῆσαι τὸ πᾶν, διακρίνοντα τὰς ὁμοιομερείας συγκεχυμένας οὔσας, καὶ ἀδιαρθρώτους τὸ πρῶτον. ἀμιγῆ δὲ τὸν νοῦν ἔφασκεν, ἵνα κρατῇ τῆς μίξεως, ὃν καὶ ἐν ἀρχῇ τινι χρόνου ἤρξατο διατιθέναι, καὶ ἄγειν εἰς τάξιν, καθάπερ καὶ Ἀριστοτέλης μαρτυρεῖ τρίτῳ περὶ ψυχῆς, μορίῳ τετάρτῳ, καὶ ὀγδόῳ Φυσικῶν, μορίῳ νε΄. ἐπειδὴ τοιγαροῦν οἱ πρὸ αὐτοῦ Φιλόσοφοι τὸ ὑλικὸν μόνον αἴτιον ἀποδόντες, περὶ τοῦ ποιοῦντος οὐδένα λόγον ἐποίουν, ἢ πάνυ σμικρὸν, καίτοι ἐν τῇ ὕλῃ μηδὲν ἧττον ἀναγκαίου ὄντος τοῦ κινοῦντος. οὐ μόνον γὰρ ἐκ τοῦ μηδενὸς, ἀλλὰ καὶ ὑπὸ τοῦ μηδενὸς οὐδὲν γίνεται, καθάπερ καὶ ἐν τοῖς τεχνικοῖς ἐξ ὑποκειμένου γίγνεταί τι χειρὶ τεκταινόμενον. Ἀναξαγόρας δὲ μόνος τὸν νοῦν προήνεγκε, καὶ ποιητὴν ἀπεφήνατο, διά τοι τοῦτο νήφων ἔδοξε τῷ Φιλοσόφῳ τοῖς πάλαι παραβαλλόμενος, πρώτῳ τῶν μετὰ τὰ Φυσικά. ἀνάγκη γὰρ ὥσπερ ἐν τοῖς ζώοις, οὕτω καὶ τῷ παντὶ τὸν νοῦν εἶναι τῆς τάξεως αἴτιον. ἀναγινώσκεται δὲ καὶ παρὰ Πλάτωνι ἐν τῷ Φαίδωνι, ὅτι μὴ οἷός τε ὢν



περιττὸς, γίνεται ὁ ἐννέα τετράγωνος, ὥστε οὐκ ἀποξενοῦται τὸ εἶδος τοῦ τετραγώνου ἐκ τῆς προσθήκης τοῦ περιττοῦ ἀριθμοῦ. οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ ἀρτίου τοῦτ' αὐτὸ γίγνεται. προστεθεὶς γὰρ τῷ αὐτῷ τετραγώνῳ δ΄. ὁ ς΄. ἀριθμὸς ἄρτιος ὢν, συνίσταται ὁ δεκαδικὸς ἀριθμὸς μὴ ὢν τετράγωνος. δῆλον οὖν, ὅτι ἐκ τῆς προσθήκης τοῦ ἀρτίου ἀριθμοῦ ἀλλάττεται τὸ εἶδος.

ὁ Σωκράτης παρὰ τοῖς λοιποῖς εὑρεῖν τὰς τῶν πραγμάτων αἰτίας, ὡς ἀπιθάνως εἰρημένων τοῖς πᾶσι, καὶ πολλῶν ἀτόπων περὶ τῆς τῶν ὄντων αἰτίας, ἀκούσας τὴν ἀρχὴν τῶν Ἀναξαγόρου συγγραμμάτων οὕτως ἐχουσαν, τὰ πάντα ὁμοῦ ἦν, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησεν, ἀγαλλιᾶσθαι σφόδρα, καὶ λαβεῖν ἐπὶ χεῖρας ἡδέως τὸ σύγγραμμα, προθυμησάμενος, ἐψεύσθη τῆς ἐλπίδος, οὐδὲν εὑρὼν ἐν τοῖς εἰσέπειτα περὶ τοῦ νοός, ἀλλὰ καὶ μέχρι τοῦδε ἀποχρώντως ἠγάσθησαν ἅπαντες Ἀναξαγόραν, καὶ τεθήπασι τῆς μεγαλοφυΐας, ὅθεν καὶ νοῦν ὠνόμαζον. ἐκίνησαν δὲ Ἀναξαγόραν εἰς τὸ δόγμα τοῦτο, καθάπερ καὶ Ἀριστοτέλης φησὶ πρώτῳ Φυσικῶν, μορίῳ λγ΄. καὶ τρίτῳ Φυσικῶν, μορίῳ κη΄. ὅτι διελογίζετο τὸ ὂν, ἢ ἐκ τοῦ μηδενὸς ἐστιν, ὃ δὴ ἀτοπώτατον φαίνεται, ἢ ἐκ προϋπάρχοντός τινος, ἀλλ᾽ ἀφανοῦς τε καὶ ἀδιαρθρώτου, ὥστε τὸ ὂν γενέσθαι, ὁπηνίκα διήρθρωται, καὶ διεκοσμήθη τὸ τῶν μερῶν αὐτοῦ χάος. ὡσαύτως ἐπειδὴ πάντα εἰς ἄλληλα μεταβάλλει, τὰ μὲν ἀμέσως, τὰ δὲ πολλῶν μεταξὺ γινομένων μεταβολῶν, ἀναγκαῖον ἐνόμιζε πᾶν εἶναι ἐν παντὶ, ἵνα ἐκ παντὸς γένηται πᾶν, καίτοι δὲ τὰ πάντα ἐν τοῖς πᾶσιν ἐστιν, οὐ μὴν φαίνεται διὰ τῆς τῶν ὁμοιομερειῶν σμικρότητος καὶ συγχύσεως, τοῦτο αὐτὸ ἐπεδείκνυτο παραδείγματι τῶν αὐξανομένων. ἐπειδὴ γὰρ ἐξ ἧστινοσοῦν τροφῆς γίνεται σὰρξ, καὶ ὀστοῦν, καὶ αἷμα, καὶ νεῦρον, καὶ ὅσ᾽ ἄλλα μέρη ζώων, ἀνάγκη σαρκὸς, καὶ αἵματος, καὶ ὀστοῦ καὶ νεύρου, ὁμοιομερείας ἐν πάσῃ τροφῇ προϋποτεθεῖσθαι, ἢ καὶ ἐν τῇ τροφῇ συμμιγεῖς τε καὶ συμπεφυρμένας, διακριθείσας δὲ τῇ παραθέσει, καὶ συναφθείσας τοῖς μορίοις τῶν ζώων, ὁμοίως δὲ μενομένου τοῦ ζώου, τὰ ὁμοιομερῆ εἰς ὃ ἀπέρχεται σύγκραμμα, τοιγαροῦν καὶ πρὸ τοῦ παντὸς συγκεχυμένα ἦν τὰ ὁμοιομερῆ. ἐπειδὴ δὲ ἀδύνατον ἀφ᾽ ἑαυτῶν διακριθῆναι, καὶ εἰς τάξιν ἐλθεῖν, ἀλλ᾽ ἀνάγκη τὸ διακοσμοῦν ἀμιγές τε εἶναι, καὶ ἀσύμφυρτον, διατοῦτο προΐσατο ὁ Νοῦς, ἄϋλός τε ὢν καὶ ἀπαθὴς, καὶ θεῖος, ὃς ἠδύνατο τήν τε σύγχυσιν ἀνελεῖν, καὶ διατάξαι τὸ πᾶν ἄριστά τε, καὶ θαυμασίως. ἀπείρους δὲ τὰς ἀρχὰς ἐτίθεσαν, Δημόκριτος, καὶ Λεύκιππος, καὶ Ἐπίκουρος, πλῆθος μὲν πολὺ φοιτητῶν καὶ πάλαι, καὶ νῦν ἐραστὰς οὐχ ἧττον ἔχοντες. μάλιστα δὲ πάντων ἐπαινεῖται Δημόκριτος, Ἀναξαγόρᾳ συνομιλήσας ἤδη γεγηρακότι, καὶ σύγχρονος γεγονὼς Ἱπποκράτει τῷ Ἰατρῷ, ἀκμάσας ἐπὶ τῆς π΄. Ὀλυμπιάδος, κατὰ τὸν Πελοπονησιακὸν πόλεμον, ἐπρέσβευσε δὲ δύο τῶν πάντων ἀρχὰς, τὸ κενὸν, καὶ τὸ πλῆρες. ἐξ ὧν ἐγέννα πάντα, ὧν τὸ μὲν πλῆρες ὂν ἔλεγε, καὶ ἀτόμους, τὸ δὲ κενὸν μὴ ὂν, ὡς ὁ Ἀριστοτέλης φησὶ πρώτῳ τῶν μετὰ τὰ Φυσικὰ, καὶ πρώτῳ Φυσικῶν, μορίῳ μα΄. τὸ δὲ κενὸν ἀναγκαῖον εἶναι τοῖς λόγοις τούτοις ἐδείκνυε. πρῶτον, ὅτι ἀ-

νάγ-

ΙΩΑΝΝΙΝΑ 2006

(ἀν)άγκη τόπον εἶναι. πᾶν γὰρ σῶμα ἐν τόπῳ ἐστίν. ὁ δὲ τόπος οὐκ ἔστιν
ἐπιφάνεια. οὐδεὶς γὰρ ἐν ἐπιφανείᾳ φαίη τὰ πράγματα κεῖσθαι, ὡς πε-
ριεχούσῃ μόνον ἐπὶ πολλῆς τὰ πράγματα, ἀλλὰ μᾶλλον ἐν τῷ διαστή-
ματι, ἐν ᾧ ἐστιν, οὐ μὴν, ἀλλ' οὐδ' ἐνδέχεται τὸ σῶμα τόπον εἶναι σώ-
ματος. ἀδύνατον γὰρ ἐστὶ διελθεῖν διὰ σώματος, καὶ ἅμα μένειν. ἄρα
τόπος ἐστὶ τὸ κενόν. δεύτερον, εἰ κίνησίς ἐστι κατὰ τόπον, ἐξ ἀνάγκης
ἔσται καὶ κενόν. τῆς δὲ κατὰ τόπον κινήσεως μηδεὶς ἂν ἔξαρνος γένοιτο ἐν
ταῖς αἰσθήσεσι μαρτυρουμένης, ἀδύνατον δὲ κινεῖσθαι τὶ κατὰ τόπον μὴ ὄν-
τος κενοῦ. τὰ γὰρ σώματα οὔτε ὑπείκειν, οὔτε διήκειν δύναται. τὸν δὲ
λόγον τοῦτον καὶ Ἀριστοτέλης ἐκτίθησι τετάρτῳ Φυσικῶν, μορίῳ νγ'.
,, λέγουσι δὲ ἓν μὲν ὅτι ἡ κίνησις ἡ κατὰ τόπον οὐκ ἂν εἴη, αὕτη δὲ
,, ἐστὶ φορὰ καὶ αὔξησις, οὐ γὰρ ἂν δοκεῖν εἶναι κίνησις, εἰ μὴ ἦν κε-
,, νόν, τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαι, εἰ δὲ δέξαιτο, καὶ ἔσται
,, δύο ἐν τῷ αὐτῷ, ἐνδέχοιτ' ἂν, καὶ ὁποσαοῦν ἅμα εἶναι σώματα,
,, τὴν γὰρ διαφορὰν, δι' ἣν οὐκ ἂν εἴη τὸ λεχθὲν, οὐκ ἐστὶν εἰπεῖν, εἰ δὲ
,, τοῦτο ἐνδέχεται, καὶ τὸ σμικρότατον δέξαιτο τὸ μέγιστον, πολλὰ γὰρ τὰ
,, μικρὰ τὸ μέγα ἐστὶν, ὥστ' εἰ πολλὰ ἴσα, καὶ πολλὰ ἄνισα. ἀλλ' ἀ-
πορήσειε τις, ὅτι οὐ διὰ τὸ κενὸν γίγνεται ἡ κατὰ τόπον κίνησις, ἀλλ'
ὅτι τὰ πλησίον σώματα ὑπείκουσι τῷ φερομένῳ, ἢ μεταβαίνοντα, ἢ
πυκνούμενα. ἀλλ' ἄμφω ταῦτα οὐκ ἐνδέχεται δίχα κενοῦ γενέσθαι, ὡς
Ἀριστοτέλης φησὶν. ἀποδεδειχέναι Ξοῦθον τὸν Φιλόσοφον μορίῳ οθ'. τοῦ
τετάρτου. εἰ γὰρ φερομένου τινὸς σώματος τὰ πλησίον μεθίσταται, ἢ εἰς
κενὸν μεταβαίνει, ἢ εἰς τὸν τοῦ πλησίον σώματος τόπον τοῦ μεταστάντος,
καὶ τοῦτο πάλιν ἢ εἰς κενὸν, ἢ εἰς ἑτέρου σώματος τόπον. ὥστε ἢ κενὸν
ἐστιν, ἢ ἐξῆς μεθισταμένων τῶν σωμάτων, σμικροῦ τινος κινηθέντος κυμα-
νεῖ τὸ ὅλον τῆς τῶν σωμάτων κινήσεως κατὰ συνέχειαν γιγνομένης. ἀ-
δύνατον δὲ καὶ μανὸν εἶναι, ἢ πυκνὸν ἄνευ κενοῦ. πῶς γὰρ δυνατὸν συ-
νιέναι καὶ πιλεῖσθαι τὶ, εἰ μὴ τῶν ἐν ἐκείνῳ κεχωρισμένων κενῶν πλη-
ρουμένων; εἰ μὴ φαίη τις χωρεῖν διὰ ἀλλήλων τὰ σώματα, καὶ οὕτω πυκ-
νοῦσθαι. πρὸς τούτοις εἰ μὴ ἐστι κενὸν ἐν τοῖς πράγμασι, πῶς γε ἐξ ὀ-
ρέων καὶ λίθων πυκνῶν πολλάκις ὑγρὰ ῥέουσιν; ἢ πῶς δυνατὸν τραφῆ-
ναι τὰ σώματα μὴ διὰ τῶν κενῶν πόρων διαδιδομένης τῆς τροφῆς; ὡς
φησιν Ἀριστοτέλης μορίῳ νε'. τοῦ τετάρτου τῶν Φυσικῶν. ἔτι δὲ ἔλεγον
καὶ ἡ αὔξησις δοκεῖ γίνεσθαι διὰ κενοῦ. τὴν μὲν γὰρ τροφὴν εἶναι σῶμα,
δύω δὲ σώματα ἀδύνατον ἅμα εἶναι. ἔτι εἰ μὴ ἐστι κενὸν ἐν τοῖς πράγ-
μασι, πῶς δυνατόν ἐστι τὸ πυκνὸν, μηδενὸς προσιόντος, ἐπὶ πολὺ μανοῦ-
σθαι, ἢ πιλεῖσθαι τὸ μανὸν μηδενὸς ἀπιόντος; ὃν λόγον καὶ Ἀριστοτέλης
,, ἐμπεδοῖ τῷ αὐτῷ μορίῳ λέγων. δεικνύει δὲ τὸ κενόν, ὅτι φαίνονται

,, ἔνια

ΙΩΑΝΝΙΝΑ 2006

„ ἔνια συνιόντα, καὶ πιλούμενα, οἷον καὶ τὸν οἶνον φασὶ μετὰ τῶν ἀσκῶν
„ δέχεσθαι τοὺς πίθους, ὡς εἰς τὰ ἐνόντα κενὰ συνιόντος τοῦ πυκνουμέ-
„ νου σώματος. καὶ κατωτέρω φησί. μαρτύριον δὲ καὶ τὸ περὶ τῆς τέ-
„ φρας ποιοῦνται, ἣ δέχεται ἴσον ὕδωρ, ὅσον δέχεται τὸ ἀγγεῖον τὸ
κενὸν ὄν.. ἔτι δὲ πολλὰ ἰσόογκα ὄντα οὐκ εἰσὶν ἰσοβαρῆ, οὐ δι' ἄλ-
λην ἴσως αἰτίαν, ἢ ὅτι ἐν ἑτέρῳ πλείω εἰσὶ κενά, ἐν ἑτέρῳ δὲ ἧτ-
τω. πρόσθες ὅτι πολλάκις δύο σώματα καθ' ὁμαλὴν ἐπιφάνειαν συ-
νιόντα ἀποπηδῶσιν ἄφνω. ὥστε ἐξ ἀνάγκης ἐν μέσῳ γίγνεται κενόν. οὐ
γὰρ αὖ ἐν ἀκαρεῖ διαθέων ἔπεισιν ἀήρ, ἔπειτ' οὐδὲ διαίρεσις ἔσται, οὐδὲ πλῆ-
θος, οὐδὲ διάκρισις μὴ ὄντος κενοῦ, ὡς λέγεται μορίῳ ν β'. ὅ φησι δια-
λαμβάνει τὸ πᾶν σῶμα ὡς εἶναι μὴ συνεχές, καθάπερ λέγουσι Δημό-
κριτος καὶ Λεύκιππος, καὶ ἕτεροι πολλοὶ τῶν Φυσιολόγων. ἀλλ' οὐ μόνον
τούτοις, ἀλλὰ καὶ τοῖς Πυθαγορείοις ἤρεσκε τὸ κενόν, καὶ ἐπεισιέναι αὐτὸ
τῷ Οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ἔλεγον, ὡς ἀναπνέοντι τὸ κενόν,
ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινὸς τῶν ἐφεξῆς, καὶ
τῆς διορίσεως, καὶ τοῦτο εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς. τὸ γὰρ κενὸν
διορίζειν τὴν φύσιν αὐτῶν. πρὸς δὲ τὸ κενὸν ἑτέραν ἀρχὴν εἰσῆγον τὸ
πλῆρες καὶ στερεόν, ἵνα μὴ πάντη κενὸν εἴη ὁ Κόσμος, ἀλλ' ἔσται τι
περιέχον ἐν αὐτῷ τὸ κενόν, τοῦτο δὲ ἀπτὸν ᾖ καὶ ποιητικὸν καὶ παθητι-
κόν, ὥστε τὴν ποίησιν καὶ τὴν ἐνέργειαν ἐν τῷ κενῷ γίγνεσθαι παρὰ
τοῦ πλήρους, καὶ τὸ μὲν κενὸν μηδὲν εἶναι σώματος, τὸ δὲ στερεὸν μη-
δόλως εἶναι κενόν. ἦν δὲ τὸ πλῆρες καὶ τὸ στερεὸν κατ' ἐκείνους ἄτομα καὶ
ἀδιαίρετα μεγέθη, περὶ ὧν ταυτὶ ἀπεφαίνοντο, ὅτι ἀπαθῆ εἰσι καὶ ἀΐ-
δια, πῇ μέν, ὅτι μὴ ἐνόντος ἐκείνοις κενοῦ, οὔτε παθεῖν ἐνδέχεται, οὔτε
ποιεῖν; ποίησις γὰρ καὶ πάθησις γίνεται διὰ τοῦ κενοῦ τοῖς σώμασι,
πῇ δέ, ὅτι ἀπαθῆ εἶναι δεῖ ταῦτα, ἀρχὰς ὄντα τοῦ παντός, τῶν γὰρ
ἀρχῶν τρεπτῶν οὐσῶν, καὶ μεταβλήτων, κινδυνεύει διαφθαρῆναι τὸ πᾶν.
εἰσὶ δὲ καὶ ὡς ἀπαθῆ τὰ ἀδιαίρετα μεγέθη, ἀθραυστά τε καὶ ἀμείωτα,
μήτε μέχρι χροιᾶς ἀλλοιούμενα, οὔτ' ἄλλης τινὸς ποιότητος παθητικῆς
μετέχοντα. διὰ γὰρ τὰς ποιότητας ταύτας ἀδύνατόν ἐστι μένειν ἀτρέπτως,
ἀλλ' ἐνδέχεταί ποτε μεταβαλεῖν ἐγγινομένου πάθους. αἱ τοίνυν ἄτομοι
καίτοι σώματα ποσότητος οὐκ ἀμέτοχα, ἀλλὰ τριχῇ διαστατά, οὐ μὴν
οἷαί τέ εἰσι περαιτέρω διαιρεθῆναι, ἀποστρέφονται γὰρ οἱ τὰς ἀτόμους
πρεσβεύοντες, τὸ εἰς ἀεὶ διαιρετὸν σῶμα εἶναι, ἀλλ' οἴονται ἐν τῇ τομῇ
τῶν σωμάτων ἀναγκαῖον εἰς ἀδιαίρετά τινα μεγέθη καταντᾶν, ἃ μηκέτι
δύναται εἰς ἐλάττω διαιρεθῆναι, ὃ καὶ δεικνύναι νομίζουσι λόγῳ τοιῷδε. τὸ
γὰρ πάντη διαιρετόν, ἢ εἰς οὐθὲν διαιρεῖται, ἢ εἰς στιγμάς, ἢ εἰς ἄτμητα με-
γέθη. ἀλλὰ μὴν ἀδύνατον εἰς οὐδὲν διαιρεθῆναι, εἴη γὰρ καὶ ἐκ τοῦ μηδενὸς συ-



Ε. Σ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νεστός, ἄμφω δὲ ἄτοπα, τό,τε γὰρ εἰς οὐδὲν φθείρεσθαι, καὶ ἐκ τοῦ μηδενὸς γίνεσθαι ἀδύνατά εἰσιν, ἀλλ᾽ οὔτε ἐκ σημείων συγκεῖσθαι δυνατὸν, ἐπειδὴ τὸ σημεῖον σημείου οὐχ ἅπτεται, κἂν μυριάκις ὁμοῦ λάβῃς σημεῖα, οὐδὲ κεχειαῖον ποιήσῃς μέγεθος, λείπεται ἄρα μέχρι μεγεθῶν ἀδιαιρέτων τὴν τομὴν γίνεσθαι. ταῦτα δὲ καὶ ἀρχὰς εἰκότως ἂν λέγοιτο. τὰ γὰρ ἔσχατα, εἰς ἃ τελευτᾷ ἡ διάλυσις, πρῶτα ἐστὶν, ἐξ ὧν ἀποτελεῖται ἡ σύνθεσις. τὸ δὲ εἰς ἀεὶ διαιρετὰ διαιρετὸν εἶναι τὸ σῶμα, μηδὲ ἐν περινοίᾳ λαβεῖν ἠδύναντο. τί γὰρ κωλύει φασὶ τὸ πάντῃ διαιρετὸν, καὶ πάντῃ διῃρημένον ὑποκεῖσθαι; οὐδὲν γὰρ ἄτοπον ἐκβεβηκὸς εἰς ἐνέργειαν ὑποτίθεσθαι τὸ δυνατόν. πάντῃ δὲ διῃρημένου τοῦ σώματος, τὸ λοιπὸν ἢ σημεῖα ἔσται, ἢ οὐθὲν, ἢ ἀδιαίρετα μεγέθη. ἔπειτα εἰ πᾶν σῶμα εἰς ἄπειρον ἐστὶ διαιρετὸν, ἔχοι ἂν ἐν ἑαυτῷ μέρη ἄπειρα, τίνι οὖν τὸ μέγα διοίσει τοῦ μικροῦ ἀμφοῖν συνεστώτων ἐξ ἀπείρων μερῶν; ἔτι δὲ καὶ ὁτιοῦν μέγεθος ἄπειρον ἔσται. ἀπείρων γὰρ ὄντων τῶν ἐκείνου μερῶν, οὐ δυνατόν ἐστι διὰ τὴν ἐκείνων σμικρότητα, μὴ ἄπειρον εἶναι τὸ ἐξ ἀπείρων συγκείμενον. πρὸς τούτοις οἴονται ἀπείρους εἶναι τῷ πλήθει τὰς ἀτόμους. καὶ γὰρ ὥσπερ τὸ κενὸν πανταχοῦ ἐστὶ καὶ ἄπειρον, οὕτω καὶ αἱ τὸ κενὸν ἔχουσαι ἄτομοι ἄπειροί εἰσιν. εἶναι δὲ τὸ πᾶν ἄπειρον συνιστῶσι λόγῳ τοιῷδε. τὸ γὰρ μὴ ἄπειρον ὑπ᾽ ἄλλου περατοῦται. τὸ δὲ πᾶν ὑπὸ μηδενὸς πεπεράνθαι δυνατὸν, οὐ γὰρ ἂν εἴη πᾶν, ἔξωθεν ἐκείνου τινὸς μένοντος, ἄρα τὸ πᾶν ἀπέραντόν ἐστι, καὶ ἄπειρον. καίτοι δὲ ἄπειροί εἰσιν αἱ ἄτομοι τῷ ἀριθμῷ, οὐ μὴν ἄπειρα ἐτίθεσαν τὰ σχήματα τούτων, ἀλλ᾽ εἴδη σχημάτων ὡμολόγουν πεπερασμένα. ἕκαστον τῶν τούτων ἀπείρους ἔχειν ἀτόμους, οἷον σφαιρικὰς, ἢ κυβικὰς, ἢ πυραμοειδεῖς. αἴτιον δὲ τοῦ πεπερασμένα φάναι τὰ τῶν σχημάτων εἴδη, ὅτι περιοδεύουσιν αἱ γενέσεις ἐν τοῖς οὖσι μετὰ πολὺν χρόνον πάλιν εἰς τὰ αὐτὰ καταντῶσαι. ἔτι καὶ ἐν τοῖς ἀντικειμένοις αἱ διαστάσεις ὡρισμέναι εἰσίν. οὐ γὰρ ἐπ᾽ ἄπειρον κατ᾽ εὐθεῖαν αἱ κινήσεις γίνονται, ἀλλ᾽ ἐν ὅροις τισὶν ἵστανται, καὶ ὑπαναστρέφουσι πάλιν. εἰ δὲ τὰ σχήματα τῶν ἀτόμων ἄπειρα εἶεν, οὐδὲ αἱ μεταξὺ τῶν ἐναντίων διαστάσεις ὡρισμέναι ἦσαν, οὔτε ἐν ἑκάστῳ γένει ἦσαν ἔσχατα, οὔτε ἡ φύσις ὅροις τισὶ περιεκέκλειστο, ἀλλὰ προβαίνῃ ἂν ἐπ᾽ ἄπειρον ἐνεργοῦσα, εὐθὺ προαγομένη, καὶ μὴ κατὰ περιόδους στρεφομένη. συμμαρτυρεῖ δὲ τοῖς λεγομένοις καὶ Πλούταρχος αὐτὴν ταύτην δόξαν ἀπονέμων Ἐπικούρῳ, ἅμα τῷ Λαερτίῳ Διογένει. καίπερ Ἀριστοτέλης ἐν τῷ τρίτῳ περὶ Οὐρανοῦ, μορίῳ λζ΄. καὶ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ πέμπτῳ, Δημόκριτον, καὶ Λεύκιππον ἄπειρα τιθέναι τὰ σχήματα τῶν ἀτόμων φησίν. εἰ μή τις τὴν διαφωνίαν ταύτην ἀναιρεῖν βουλόμενος εἴποι, ὅτι κατὰ μὲν Ἐπίκουρον

πεπε-

πεπερασμένα εἰσὶ τὰ τῶν ἀτόμων σχήματα, ἄπειρα δὲ κατὰ Δημόκριτον, καὶ Λεύκιππον. διαφέρουσι γὰρ ἐν πολλοῖς Δημόκριτος, καὶ Ἐπίκουρος. Δημόκριτος μὲν μέγεθος καὶ σχῆμα ταῖς ἀτόμοις ἀπονέμει. Ἐπίκουρος δὲ καὶ βάρος, ἀδύνατον οἰηθεὶς αὐτὰς ἄνευ βάρους κινεῖσθαί τι. κἀκεῖνος μὲν μίαν τε καὶ ὁμοίαν τίθησι τὴν τῶν ἀτόμων κίνησιν, ὁ δὲ ἔγκλισίν τινα τῶν ἀτόμων εἰσηγήσατο κατὰ τὴν κίνησιν, ὥστε μὴ κατ' εὐθείαν φέρεσθαι, ἀλλ' ἐκτρέπεσθαι κατὰ σμικρὸν δυοῖν ἕνεκα. πῶς γὰρ εἰ κατ' εὐθείαν κινοῦνται αἱ ἄτομοι, δυνατὸν συνιέναι τὰς ἑτεροειδεῖς ἀτόμους τοῖς σχήμασι; καὶ γὰρ ἐκ τῆς συγκρίσεως τῶν διαφόρων ἀτόμων ἡ τῶν πραγμάτων ἐστὶ γένεσις. ἔτι δὲ καὶ καθ' εἱμαρμένην τινὰ ὁδὸν, καὶ ἄφυκτον γίγνοιτ' ἂν ἅπαντα, τῆς εὐθείας ἀεὶ τῶν ἀτόμων ἐχομένων, καὶ μὴ τὴν φορὰν ἀμειβουσῶν. Ἀλλ' ἐπαναλάβωμεν τὰς τῶν ἀτόμων ἰδιότητας, τὰς ἐν ἐκείνοις παρεάσαντες διαφωνίας. Ἔλεγον οὖν οἱ γεννῶντες ἐκ τῶν ἀτόμων τὰ ὄντα, ὁμοφυεῖς εἶναι ταύτας, καὶ διαφέρειν ἀλλήλων τοῖς σχήμασι μόνον, ἐν δὲ ταῖς συγκρίσεσι, καὶ τὴν ἀπὸ τῆς θέσεως καὶ τάξεως ἀναφύεσθαι διαφορὰν, ὥστε τὰ σύνθετα διαφέρειν ἀλλήλων. ὡς καὶ Ἀριστοτέλης φησὶ ταῖς ἀτόμοις, ἐξ ὧν εἰσὶ θέσει τε, καὶ τάξει. ὥστε ἄλλα μὲν γεννῶσιν αἱ σφαιρικαὶ ἄτομοι, καὶ ἄλλα αἱ κυβικαὶ, καὶ ἄλλα αἱ πυραμοειδεῖς, ἄλλα δὲ γίνονται ἐκ τῶν ἀτόμων πλαγίως κειμένων, ἢ ὑπτίως, ἢ ὀρθῶς, ὡσαύτως καὶ ἄλλα μὲν ἀποτελεῖσθαι ἐξ ἀτόμων σφαιροειδῶν μὲν τῶν ἔμπροσθεν, κυβικῶν δὲ τῶν ὄπισθεν, κοίλων δὲ τῶν ἐν μέσῳ, ἢ τῶν ἔμπροσθεν ὑπτίως κειμένων, ὀρθῶς δὲ τῶν ὄπισθεν, καίτοι πασῶν οὐσῶν πυραμοειδῶν. τοιγαροῦν ἐκ τῆς διαφορᾶς τῶν σχημάτων, θέσεώς τε καὶ τάξεως ἡ πολυειδὴς τῶν πραγμάτων ποικιλία κατ' ἐκείνους γεννᾶται, ὥσπερ καὶ ἐκ τῶν κδ'. γραμμάτων αἱ τοσαῦται λέξεις συντίθενται. ὥστε τὰ αὐτὰ στοιχεῖα, καὶ Γῆν, καὶ Οὐρανὸν, καὶ Θάλασσαν, καὶ φυτὰ καὶ ζῷα σημαίνουσι μετατιθέμενα, καὶ ἄλλοτε ἄλλως συμπλεκόμενα. Τέως ᾠήθησαν οὗτοι τὰς ἀτόμους ἀπ' αἰῶνος ἐν τῷ κενῷ κινεῖσθαι, ἐκ ταὐτομάτου δὲ συνιούσας, καὶ συνενωμένας, οὐ μόνον τουτονὶ ἐν ᾧ ἐσμὲν Κόσμον, ἀλλὰ καὶ μυρίους ἄλλους ἀποτελεῖν ὁμοίους, καὶ ἀνομοίους. ἐπειδὴ γὰρ τό, τε κενὸν πάντῃ ἄπειρόν ἐστιν, ὁμοίως δὲ καὶ ἡ ὕλη, δηλονότι τὸ τῶν ἀτόμων ἀναρίθμητον πλῆθος, αὕτη δὲ ὑπ' οὐδενὸς εἰς τάξιν ἄγεται, ἀλλ' ἀπὸ τοῦ ταὐτομάτου, τί κωλύει μὴ τὸν Κόσμον μόνον, ἀλλὰ καὶ πλείους ἄλλους ἐκ τῆς τυχαίας τῶν ἀτόμων συνελεύσεως γεγενῆσθαι; ὥσπερ γὰρ τὰ στοιχεῖα τῶν γραμμάτων εἰ ἄπειρα εἶεν τῷ ἀριθμῷ, καίτοι μὴ τοῖς εἴδεσι πλείω τῶν κδ'. ἀτάκτως κινούμενα χρόνῳ πολλῷ πρὸς ἄλληλα, καὶ συνούμενα παντοίας ἂν συλλαβὰς καὶ λέξεις ἐργάσαιντο, καίτοι μὴ πάσας κατὰ τὴν

ἡμε-

ΙΩΑΝΝΙΝΑ 2006

ἡμετέραν διάλεκτον σημαντικάς, ἀλλ' ὅμως γε σημαίνειν δυναμένας, καὶ οὐδὲν ἧττον τῶν λοιπῶν οὔσας λέξεις, οὕτω τοι καὶ αἱ ἄτομοι ἀϊδίως φερόμεναι, καὶ συνιοῦσαι, οὐ μόνον παντοῖα πραγμάτων εἴδη, ἀλλὰ καὶ Κόσμους μυρίους ἀποτελοῦσιν. οὔτε γὰρ ἄτοπον ἐκ τῶν ἀπὸ ταὐτομάτου κινουμένων τάξιν πολλάκις ἀνακύπτειν θαυμασίαν· ὥσπερ γὰρ καὶ ἐν ταῖς τῶν συγγραφέων ἑρμηνεύσεσι πολλάκις ἐννοίας ὑπομιμνησκόμεθα, αἵπερ οὐδέ ποτε ἐν νῷ γεγόνασι τοῦ συγγραφέως, οὕτω τοι καὶ ἐν τῷ παντὶ τάξεις πολλάκις ἀναπλάττομεν, ὧν ἡ φύσις οὐκ ἐστοχάζετο ὡς ἄνευ λόγου κινουμένη. ἔλεγον δὲ οὐ μόνον τοὺς ὅλους Κόσμους, ἀλλὰ καὶ ζῷα καὶ φυτὰ αὐτομάτως γίγνεσθαι, οὐχ ὥστε μὴ εἶναι ὡρισμένην τὴν ἑκάστου ὕλην, καὶ δύνασθαι ἐκ τῶν αὐτῶν ἀτόμων ἵππον τε γενέσθαι καὶ συκῆν, ἀλλ' ὅτι τῶν εἰς ἵππου κατασκευὴν ἀτόμων παντὸς ἀριθμοῦ πλειόνων οὐσῶν, τὴν σύγκρισιν τῶν τοιωνδὶ, ἢ τοιωνδὶ τυχαίαν ἐνόμιζον. Ἀριστοτέλης δὲ ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν, μορίῳ μ΄. καὶ πρώτῳ περὶ ζώων μορίων, κεφαλαίῳ πρώτῳ, Δημόκριτόν φησι Γῆν μὲν καὶ ἀστέρας, καὶ Οὐρανὸν ἐκ ταὐτομάτου γεννᾶν, ζῷα δὲ καὶ φυτὰ πρὸς ὡρισμένης αἰτίας, εἴτε φύσεως, εἴτε νοός, ὅπερ εἰ ἀληθές ἐστιν, ὡς ἀληθῆ τὰ τοῦ Ἀριστοτέλους ἅπαντα, οὐ ῥάδιον ἐστὶ συνιδεῖν, πῶς ἂν τυχηρὰ φάναι τὰ μονιμώτατα τῶν ὄντων, καὶ ἀεὶ ὡσαύτως ὑφιστάμενα, ἀναγκαῖα δὲ τὰ ἐν συνεχεῖ τῇ ῥοῇ τυγχάνοντα. ἔπειτα οὐχ οὕτω νωθρᾶς διανοίας ἦν ὁ Δημόκριτος, ὃς καὶ πολλαχοῦ τῷ Ἀριστοτέλει ἐπῄνηται, ὥστε αὐτὸν ἑαυτῷ ἀντιφθέγγεσθαι, καὶ καθόλου μὲν ἀναιρεῖν τό, τε ποιητικὸν αἴτιον, καὶ τὸ οὗ ἕνεκα, ὥσπερ καὶ Ἀριστοτέλης μαρτυρεῖ, ἐν δὲ τοῖς κατὰ μέρος ἐγκρίνειν ταῦτα. νοῦς γὰρ ἀεὶ προϋποκειμένου τέλους τινὸς ἐνεργεῖ. ταῦτα τοίνυν ἀμφίβολον ποιοῦσι τὴν τοῦ Φιλοσόφου λέξιν, μάλιστα τοῖς μὴ ἀγνοοῦσι τὰ τοῦ Δημοκρίτου. ἢ τυχὸν ἔλεγε Δημόκριτος, οὐρανὸν μὲν καὶ ἀστέρας, καὶ τὰ συνιστῶντα τὸ πᾶν μέρη συνελθεῖν αὐτομάτως, ἐπεὶ δὲ φυτῶν τε καὶ ζώων τὰ οὐράνια σώματα αἴτια νομίζεται, καὶ προσέτι ἀεί τι κατὰ μέρος αἴτιον δείκνυται τούτων, τούτου χάριν τῶν τοιούτων τὸ δοκοῦν αἴτιον τιθέναι τὴν φύσιν, ἢ τὸν νοῦν, καίτοι ἐκ ταὐτομάτου τὰ πάντα γίνεται τῇ ἀληθείᾳ. ὡς ἐν κεφαλαίῳ τοίνυν εἰπεῖν ἀρχὰς ποιοῦσιν οἱ ἀμφὶ Δημόκριτον τὸ κενόν, ἀόριστόν τε καὶ ἄπειρον τῷ πᾶσιν ἐνεῖναι, εἶναι δὲ καὶ ἀπαθεῖς τὰς ἀτόμους, στερεάς τε καὶ ἀδιαιρέτους, μέγεθος ἐχούσας, καὶ σχῆμα, καὶ βάρος, ὡς Ἐπικούρῳ δοκεῖ, κινεῖσθαι δὲ μάλιστα τριχῶς, κάτω μὲν κατ' εὐθεῖαν, πάντῃ που δὲ κατ' ἔξωσιν συνθλιβομένων τῶν σωμάτων πολλάκις καὶ συμπιπτόντων, καὶ τελευταῖον κατ' ἔγκλισιν, συγκρίνεσθαι δὲ τὰς ἀτόμους δίχα τινὸς ὡρισμένης αἰτίας, ἢ τέλους προϋποκειμένου, ἀλλ' ὑπὸ ταὐτομάτου, καὶ συνιούσας ἀπείρους Κόσμους ἀποτελεῖν, πάσας δὲ

δια-

Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

διαφορὰν εἴτε ἐν ταῖς ἀτόμοις, εἴτε ἐν τοῖς ἐξ ἐκείνων γινομένοις σώμασιν, ἀπὸ τῆς ποικιλίας ἐκφύεσθαι, σχήματος, θέσεώς τε, καὶ τάξεως. καὶ ταῦτα ἔφασκον οἱ ἀμφὶ Δημόκριτον, Λεύκιππόν τε, καὶ Ἐπίκουρον. Ἡμεῖς δὲ ὡς ἐνὶ μάλιστα διὰ βραχέων τὰς ἀνασκολιὰς τῶν τοιούτων θέσεων ἐκθῶμεν, καὶ γὰρ πλεῖστον ἀλλήλων διαφέρουσιν, οὐδὲ τοῖς αὐτοῖς λύονται λόγοις, καίτοι Σιμπλίκιος ὁμοφώνους τε εἶναι, καὶ πάσας ἀληθεύειν διϊσχυρίζεται, ἐν τῷ μορίῳ, πρώτῳ Φυσικῶν κατὰ τῶν ἀντιλεγόντων τούτοις εἴρηκεν. Ἰστέον ὅτι τῶν ἐπιπολαιότερον ἀκροωμένων ἤτοι κηδόμενοι, τὸ φαινόμενον ἄτοπον ἐν τοῖς λόγοις αὐτῶν διελέγχουσιν, αἰνιγματωδῶς εἰωθότων τῶν πάλαι τὰς ἑαυτῶν ἀποφαίνεσθαι γνώμας. καὶ ἄλλοθι. ὅπως ὧν οἱ μὲν εἰς νοητὸν, οἱ δὲ εἰς αἰσθητὸν διάκοσμον ἀφορῶντες, καὶ οἱ μὲν τὰ προσεχῆ στοιχεῖα τῶν σωμάτων, οἱ δὲ τὰ ἀρχαιοδέστερα ζητοῦντες, καὶ οἱ μὲν μερικώτερον, οἱ δὲ ὁλικώτερον τῆς στοιχειώδους καταδραττόμενοι φύσεως, καὶ οἱ μὲν τὰ στοιχεῖα μόνον, οἱ δὲ πάντα τὰ αἴτια, καὶ συναίτια ζητοῦντες, διάφορα μὲν λέγουσι φυσιολογοῦντες, οὐ μὴν ἐναντία τῷ κρίνειν δυναμένῳ. ἀλλ᾽ αὐτὸς μίσει κατὰ Χριστιανῶν κινούμενος τῆς Περιπατητικῆς ἐξετράπη Φιλοσοφίας, προθυμούμενος ἀποδεῖξαι, μηδεμίαν εἶναι μάχην ἐν τοῖς τῶν παλαιῶν λόγοις, ὥσπερ ἐν τοῖς λεγομένοις, καὶ πιστευομένοις. ἐν τούτοις γὰρ αἰτιᾶται τοσαύτας εἶναι τὰς αἱρέσεις, οὐ τῆς ἀληθείας ζητουμένης, ἀλλ᾽ οἷον ἀναπτυσσομένων ὀνείρων ἕκαστος τῶν ἀκροωμένων τὴν ἀρέσκουσαν αὐτῷ ἔννοιαν προσάπτει. Ὅση δὲ διαφορὰ ἐστὶν ἐν τοῖς τῶν ἀρχαίων λόγοις φανερόν ἐστι καὶ παρὰ τοῦ Φιλοσόφου, ὃς πολλαχοῦ τοὺς μὲν αὐτῶν ἐπιπολαιότερον ἅψασθαι τῆς φύσεως, τοὺς δὲ καὶ διαμαρτεῖν ὅλως ἀποφαίνεται. ὅθεν μορίῳ σ. ά. τοῦ πρώτου τῶν Φυσικῶν φησι. ζητοῦντες γὰρ οἱ κατὰ Φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν, καὶ τὴν φύσιν τῶν ὄντων, ἐξετράπησαν, οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπ᾽ ἀπειρίας. καὶ σ. δ´. ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες ἀπέστησαν, καὶ διὰ ταύτην τὴν ἄγνοιαν τοσοῦτον προσηγνόησαν, ὥστε μηδὲν οἴεσθαι γίγνεσθαι, μηδὲ εἶναι τῶν ἄλλων. εἰ δὲ τὰς διαφωνίας τῶν ἀρχαίων ἀκριβέστερον ἀρέσκει συνιδεῖν, ὄψεσθε Κλήμεντα τὸν Ἀλεξανδρέα, Ἰουστινιανὸν τὸν Μάρτυρα, Εὐσέβιον τὸν Καισαρείας, παρ᾽ ὧν ἐπιστήσεσθε, ὅτι ἡ τῶν δογμάτων, καὶ θέσεων ἐναντίωσις εἰς τοσαύτας αἱρέσεις τοὺς πάλαι διεσπάσατο, ὥστε οὐ μόνον ἀλλήλοις ἀντιλέγειν τοὺς ἐν διαφόροις αἱρέσεσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς καθηγηταῖς τοὺς ἀκροατὰς ἀντιφάσκειν. νῦν δὲ οἷον κατὰ πρώτην ὄψιν τὰς τῶν πάλαι γνώμας διέλθωμεν, ἵνα καὶ τοῖς μὴ βουλομένοις ἀναγνῶναι τοὺς εἰρημένους συγγραφεῖς πάντας ἐντεῦθεν ἡ ἐν αὐταῖς ἐναντίωσις δήλη γένηται.

Πρῶτα γάρ εἰσι καὶ ἀκρότατα Φιλοσοφίας πέρατα, ἥ, τε περὶ τοῦ ἀ-

ληθοῦς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀληθοῦς καὶ ψεύδους κρίσις, καὶ ἡ περὶ τέλους καὶ ἀγαθοῦ. εἰ γὰρ ἀγνοήσειεν αὐτήν τις τήν τε τῆς ἀληθείας διάκρισιν, καὶ τὴν τοῦ ἐφετοῦ, καὶ ἀγαθοῦ γνῶσιν, ὄντως ἀγνοεῖν ἀνάγκη πόθεν ἄρχεσθαι, καὶ ποῖ τελευτᾶν εἰκός. αὐτὴν δὲ τοῦ ἀληθοῦς καὶ ψεύδους διάγνωσιν, οἱ μὲν ἐν Ἀκαδημίᾳ ὅλως ἀνεῖλον, μηδαμῶς δύνασθαι διακριθῆναι τοῦ ψεύδους τὴν ἀλήθειαν ἀποφαινόμενοι, καὶ προσβάλλοντες. οἱ δὲ ἀμφὶ Δημόκριτον, καὶ Ἐπίκουρον τὴν ἀλήθειαν ἐν τοῖς φαινομένοις ἐτίθεσαν, τὴν τῆς ἀληθείας κρίσιν ταῖς αἰσθήσεσιν ἀπονέμοντες. οἱ δὲ Πλατωνικοὶ ἐν τῷ νῷ τὴν ἀλήθειαν εἶναί φασιν. ὧν οἱ Ἀριστοτελικοὶ διαφέρουσι, τῷ νῷ μὲν, ἀλλ' ἀπὸ τῶν αἰσθήσεων προσγίνεσθαι διϊσχυριζόμενοι, καὶ ἐν μὲν τοῖς μερικοῖς γνωστικὰς εἶναι τοῦ ἀληθοῦς τὰς αἰσθήσεις, ὥσπερ ἐν τοῖς καθόλου τὸν νοῦν, ἀλλ' οὔτε μόνον τὸν νοῦν, οὔτε τὴν αἴσθησιν ἀψευδῆ εἶναι, ἀλλὰ θάτερον ὑπὸ τοῦ ἑτέρου πολλάκις διορθοῦσθαι, καὶ συνωθεῖσθαι εἰς γνῶσιν ἀληθείας. ὥστε κατὰ μὲν Ἐπικουρείους ἀεὶ οὖσαν ἀληθὴς ἡ αἴσθησις, ψευδὴς δὲ κατὰ τοὺς Ἀκαδημαϊκούς. κατὰ δὲ τοὺς Περιπατητικοὺς, ὁτὲ μὲν ἀληθὴς, ὁτὲ δὲ ψευδής. Πάλιν, οἱ μὲν ἐν Ἀκαδημίᾳ πᾶσαν ἐπιστήμην ἀναιροῦσι καὶ κατάληψιν, οἱ δὲ περὶ Πλάτωνα εἶναι μὲν ἐπιστήμην, ἀλλ' οὐκ ἔξωθεν πορίζεσθαι διὰ μαθήματος, ἔμφυτόν τε εἶναι καὶ ἐμφωλεύουσαν τῷ ἀνθρωπίνῳ νῷ, οἱ δὲ Περιπατητικοὶ τὴν ἐπιστήμην ἔξωθεν ἡμῖν φασι προσγίνεσθαι. περὶ δὲ τοῦ ἀγαθοῦ πολλῷ μᾶλλον ἀλλήλων διεστήκασιν οἱ πάλαι, ὡς ὁ Ἱερὸς Αὐγουστῖνος περὶ Πόλεως Θεοῦ, κεφαλαίῳ πρώτῳ τοῦ ιθ'. μαρτυρεῖ. περὶ δὲ τοῦ Κόσμου ἐναντία φρονοῦσιν ὡσαύτως. οἱ μὲν ἕνα δοξάζοντες, οἱ δὲ ἀπείρους, οἱ δὲ γεγενημένον τε καὶ φθαρησόμενον, οἱ δὲ γεγενημένον μὲν, ἀλλ' ἄφθαρτον, οἱ δὲ ἀγένητόν τε καὶ ἄφθαρτον, καὶ οἱ μὲν ἀπὸ ταὐτομάτου συνελθεῖν, οἱ δὲ Θείᾳ Προνοίᾳ δημιουργηθῆναι. περὶ δὲ τῶν Θείων ὅλως ἀγνοοῦσιν. ὅ, τι ἂν φαῖεν καὶ αὐτοὶ αὐτοῖς ἀντιφάσκουσιν, ὁτὲ μὲν ἕν, ὁτὲ πολλὰ τὰ Θεῖα διδάσκοντες, καὶ ὁτὲ μὲν ἔξω φροντίζειν, καὶ αὐτῶν δὴ τῶν ἀρχαίων, ὁτὲ δὲ μηδὲ ἑαυτὸν γνῶναι, καὶ οἱ μὲν σῶμα ποιοῦσιν, οἱ δὲ ἀσώματον, οἱ δὲ ψυχὴν τοῦ παντὸς, οἱ δὲ νοῦν, ἄλλοι δὲ αὐτὸ τὸ ἀγαθόν. ὡσαύτως δὲ καὶ περὶ τῆς ἡμετέρας ψυχῆς, ὅσα μυθεύεται τοῖς πάλαι ὄψεσθε ἐν τῷ πρώτῳ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους, οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τῷ Περιπάτῳ, οἱ μὲν ἀγέννητον οἴονται, καὶ ἀθάνατον, οἱ δὲ ἀθάνατον μὲν, ἀλλὰ γεννητὴν, οἱ δὲ καὶ θνητὴν, καὶ οἱ μὲν εἶδος μορφωτικὸν ἀνθρωπείου σώματος, οἱ δὲ ὑποστατικόν. τούτων οὖν οὕτως ἐχόντων, πῶς ἂν πιστεύσειέ τις Σιμπλικίῳ, ὁμογνωμονεῖν φάσκοντι τοὺς πάλαι Φιλοσόφους, εἰ μὴ βούλοιτό τις οὐ τῶν λεγομένων λαμβάνειν τὰς ἐννοίας, ἀλλὰ παρέλκειν αὐτὰς εἰς τὴν οἰκείαν δόξαν.

Περὶ

Ε.Υ.Δ ... ΙΩΑΝΝΙΝΑ 2006